eul_wid: taq-ac

*Ἡσύχιος ὁ Ἀλεξανδρεύς* · Hesychius the Alexandrian

## Lexicon

*Λεξικὸν (Π—Ω)*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

pi 1 Παμύλη ς· Αἰγύπτιος θεὸς Πριαπώδης. Κρατῖνος ὁ νεώτερος Γίγασιν· ὡς σφοδρῶς [ἡ] Αἰγυπτώδης, Σώχαρις, Παμύλης Παᾶπι ς· οὗτος ποτήριά τινα τοῖς Ἀθηναίοις ἔπεμψε δῶρα.

pi 2 Λεύκων Φράτερσιν· ἀτὰρ ὦ Μεγάκλεες οἶσθ' ἃ τοῦ Παάπιδος· Ὑπέρβολος τἀκπώματα κατεδήδοκε παγαί η· κύων.

pi 3 Σκυθιστί πάγαν α· σφύρα, καὶ ἡ Ἀργὼ ἐπάγη * παγανό ς· ἰδιώτης, ἄφρων παγά ς· γῆ τις ὑπὸ τῶν γεωργικῶν πάγας α· θύρα.

pi 7 καὶ παγασαί Παγασίτη ς· Ἀπόλλων παρὰ Ἀχαιοῖς ἐν Παγασαῖς, καὶ παρὰ Θεσσαλοῖς παγετό ς· κρύσταλλος.

pi 9 ψῦχος. [κρημνός, σκόπελος] παγετ ῷ· ψύχει.

pi 10 κρυμῷ πάγ η· παγίς.

pi 11 ποδάγρα. βρόχος πάγη δέ τι ς· παγὶς δέ τις πάγη ν· παγίδα.

pi 13 [ἢ ὑψηλὸν τόπον] παγῆνα ι· στερεωθῆναι [ παγγά ς· πλάνος] πάγιο ν· στερεόν.

pi 16 πιστόν. κάτοχον. βέβαιον. ἀσφαλές * παγηνό ς· ὁ ἐξ ὁδοιπορίας καὶ διωγμοῦ κονιορτός παγκαρπί α· πανσπερμία παγκράδ η· ἀπὸ τῆς κράδης τῶν συκῶν παγκρατή ς· Ζεύς.

pi 20 Ἀθηναῖοι παγκρατιάζειν καὶ παγκράτιο ν· τὸ αὐτό.

pi 21 τὸ τρὶς πλησιάζειν. καὶ τὸ κιχόριον, ὅ ἐστι πόα. ἢ διαπαντός παγκρατιαστα ί· ἀθληταί, πύκται πάγκυφο ς· ἐλαίας εἶδός τι κατακεκυφὸς καὶ ταπεινὸν ἐν τῇ ἀκροπόλει * παγελό ς· ὁ ἐν τῷ ποδὶ ἀστράγαλος πα γ .

pi 25 λάδι α· ἑορτὴ παρὰ Ῥοδίοις, ὅταν ἡ ἄμπελος τμηθῇ πάγον εὐτειχ ῆ· τετειχισμένον ἐν ὄρει πάγο ι· αἱ ἐξοχαὶ τῶν πετρῶν καὶ τῶν ὀρῶν πάγο ς· ὄχθος.

pi 28 βουνός. ψῦχος παγούαι ρ· μάρμαρος.

pi 29 ἢ μικακύς πάγουρο ς· εἶδος καρκίνου Παγχαῖο ς· Ζεύς πάγχ υ· παντελῶς * παῖο ν· ἀσφαλές, βέβαιον παγχυρισμό ς· πολυσύγκριτος παγῶ ν· πηγῶν παδησχέα ι· σχίζαι * παλλί α· ἀγών.

pi 37 οἱ δὲ τὸ παλεῖν· ἔνιοι δὲ τὸ πᾶν * παθήματ α· συμφοραί παθαίνεσθα ι· δεινοπαθεῖν παθιώτα ρ· συγγενοῦς.

pi 40 τελευταίου (π )άζιο ν· λίθος πολύτιμος Παιὰν Ζεύ ς· τιμᾶται ἐν Ῥόδῳ.

pi 42

ἢ εἶδος ᾠδῆς παιάνα ι· οἱ τοὺς παιᾶνας ᾄδοντες.

pi 43 ἢ ᾠδή, ἐπὶ ἀ(πα)λλαγῇ κακῶν, ἢ αἰσχροῦ τινος παιᾶνα ς· κώμους.

pi 44 εὐφημίας, ᾠδάς, ὕμνους εἰς θεόν Παιανιέ α· ἀπὸ δήμου τῆς Ἀττικῆς παιᾶνι στυγν ῷ· θρηνητικῷ ὕμνῳ παιδαγωγί α· παιδεία, διδασκαλία παιδαγωγό ς· παιδευτής.

pi 48 καὶ τὰ ὅμοια [ παιδάκιμ α· μειράκια] * παῖδα ι· ἡμέραι τινές * παῖδα δέ μο ι· τὴν θυγατέρα δέ μοι παιδάρι α· τὰ μείζονα.

pi 52 καὶ τὰ ἀρτίως γεγονότα * παιδαλήθριο ν· παιδισκάριον παιδαριήματ α· παιδάρια παιδαριώδ η· ἀσύνετα παιδέρω ς· οἱ μὲν σφραγῖδος ὄνομα· οἱ δὲ ἀλείμματος· οἱ δὲ μύρου εἶδος * παιδεί α· ἀγωγὴ ὠφέλιμος.

pi 57 διδαχή παῖδε ς· τὸ πάλαι μὲν τέκνα ἀρσενικὰ καὶ θηλυκά.

pi 58 μεταπεσούσης δὲ τῆς χρήσεως νῦν καὶ οἱ δοῦλοι παιδεύει ν· τρέφειν, παιδοτροφεῖν [ παιδεώτι ς· παιδοκτόνος] * παιδεί α· πεῖρα.

pi 61 νουθεσία παιδικ ά· τὰ [ἱ]ἐρωτικά.

pi 62 καὶ οἱ [ἱ]ἐρώμενοι. ἐπὶ τῆς πρὸς γυναῖκας συνουσίας παιδικέω ρ· ὁ ἐν γυμνασίῳ ὑπηρέτης παιδίνο ρ· παιδίσκη παιδισκάριο ν· τὸ κοράσιον.

pi 65 Ἀττικοί. ἐπὶ τῆς ἡλικίας. καὶ λίθος, ᾧ πρὸς ταλασιουργίαν χρῶνται παιδίσκο ι· οἱ ἐκ παίδων εἰς ἄνδρας μεταβαίνοντες [ παῖδνε ς· ἀλαλαγμοὶ ἐν πολέμῳ] παιδνό ς· νεογνὸς παῖς.

pi 68 νέος ὁ ἐξερχόμενος ἀπὸ τῆς τοῦ παιδὸς ἡλικίας, ἢ παρὰ τοῖς Ἀττικοῖς καλούμενος ἀντίπαι ς. ἄφρων, νήπιος παιδοβάτιο ν· εἶδος ἀμπέλου παιδόθε ν· ἀρχῆθεν, ἐκ ῥίζης, ἀπὸ γενέσεως, ἐκ παιδικῆς ἡλικίας παιδικομία ς· παιδοτροφίας παιδοκόμ [ ε ν ]ο ς· ὁμοίως παιδοκόρη ς· Ἑρμῆς.

pi 73 τιμᾶται ἐν Μεταποντίοις παιδολέτρι α· παιδοφόνος παιδολέτερο ν· παιδοφόνον παιδονόμο ς· ἀρχή τις παρὰ Λάκωσι παιδοπίπα ς· ἀρσενοβάτης, ἀνδροβάτης παιδό ς· ἀκμῆς παιδοτρίβα ι· ἀλεῖπται.

pi 79 γυμνασταί παιδοτριβοῦσ ι· παιδεύουσι.

pi 80 καὶ τὰ ὅμοια παιδῶνα ς· τοὺς μισθοῦ[ς] ἐκ τῆς ἀγορᾶς κομίζοντάς τι ( * ) παιδονίκτα ι· οἱ προϊστάμενοι τῆς τῶν παίδων εὐκοσμία ς παίε ι· τύπτει, πλήττει, κρούει.

pi 83 δέρει. ἢ ἐσθίει παιήον α· ποτὲ μὲν τὸν λεγόμενον παιᾶνα, ὕμνον εἰς Ἀπόλλωνα, ἐπὶ καταπαύσει λοιμοῦ ᾀδόμενον· ποτὲ δὲ θεόν τινα, ὃν συνίστησιν ἰατρὸν θεῶν.

pi 84 [ἢ ᾠδή. ἢ ἔθνος] * πεζό ς· τοῖς ποσί παιηοσύν η· ἰατρεία παιητέο ν· πληκτέον παιλαγρέτα ι· ἀρχή τις, ἐπὶ ἱππέων παιλλό ς· ἄῤῥην, νήπιος παίμμ α· πλακούντια Παίονε ς· ἔθνος βαρβαρικόν.

pi 90 δοῦλοι. [καὶ ἰατροί] * παῖο ν· ἀσφαλές, βέβαιον * παιπάλλει ν· σείειν παιπαλᾶ ν· περισκοπεῖν.

pi 93 ἐρευνᾶν παιπάλ η· ἄλευρον λεπτόν, τὸ ἀπὸ κριθῆς, ἢ κέγχρου, ἢ τὸ τυχόν παιπάλημ α· ποικίλος ἐν κακίᾳ ( * ) πάϊ ν· παῖδα παιπαλόεσσα ν· ὑψηλήν· ἔστη(ν) δὲ σκοπιὴν εἰς παιπαλόεσσαν ἀνελθών καὶ τραχεῖαν.

pi 97 τινὲς δὲ σκολιάν παιπαλόεντο ς· τραχύν παιπάσσουσ α· παντὶ φαινομένη παῖ ς· πᾶς ὁ φύσει υἱὸς ὤν τινος.

pi 100 καὶ ὁ τῇ ἡλικίᾳ νέος. καὶ ἀντὶ τοῦ παρθένο ς. τάσσεται δὲ καὶ ἐπὶ τοῦ δούλου. ἄρτι ἀκμάζων παῖσα ι· ὃ ἡμεῖς παῖξαι [ παισαρεύματ α· περικόμματα] παιρεύ ς· παιρέτης παίσατ ε· ἐνίοτε μὲν ἐπὶ τοῦ παίξατε· ἐνίοτε δὲ καὶ ἐπὶ τοῦ ἔνδοτε .

pi 104 παις θ ’ ἅμ α· [παίει ἅμα] παίσδ ῃ· παιδαριεύῃ Παισό ς· πόλις.

pi 105

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ποταμός [ παιτάσα ς· ἁπλώσας παίταυρ α· σίγνα] παιφάσσει ν· πυκνὰ ἀπ’ ἄλλου ἐπ’ ἄλλον ὁρμᾶν, ἐνθουσιαστικῶς ἔχειν, σπεύδειν, θορυβεῖν, πηδᾶν παί ω· δέρω, τύπτω, πλήττω * παιώνιο ν· φάρμακον καταπαῦον ὀδύνας Παίω ν· ὄνομα.

pi 111 καὶ ἰατρός. ὁ δὲ ἀλαλαγμὸς παιωνισμό ς. γράφεται δὲ καὶ παιανισμός Παιῶνε ς· τὰ αὐτά παιώνι α· φάρμακα ἰατρικά.

pi 113 ἢ θεραπεῖαι παιώνιο ν· ἴασιν.

pi 114 θεραπείαν Παιώνιο ς· Διόνυσος παιωνίσαντε ς· ἀλαλάξαντες πακοτ ή· ἀποσκότ.

pi 117 . πακτ ά· ἡρμοσμένα.

pi 118 πεπηγμένα Πακτωλό ς· ὄνομα ποταμοῦ πάλ α· ζώνη * πάλα ι· ποτέ παλ [λ ]άθ η· ἡ τῶν σύκων ἐπάλληλος θέσις παλάθα ι· σύκων μαζία παλαί α· ἀλφιτισμός.

pi 124 οἱ δὲ ποσισίτου παλαιγενεῖ ς· πρεσβῦται παλαιθέο υ· παλαιᾶς θεοῦ * παλαιοθέτη ς· παλαιοπράγμων.

pi 127 δραστήριος * παλαιδέτη ς· πρεσβύτης.

pi 128 ὁ συνήθης. ὁ παλαιετής * παλαιό ν.

pi 129 ἀρχαῖον. σαθρόν * παλαιό ς· ὁ ταῖς φρεσὶν ἐξεφθαρμένος ἤδη, ἄφρων, ὁ καὶ ἠλίθιος Παλαίμω ν· ὁ Ἡρακλῆς παλαιό ρ· μωρός πάλαι πεπρωμένον αἴσ ῃ· πρὸ πολλοῦ ὑπὸ τῆς εἱμαρμένης, ὅ ἐστι μοίρας, εἰς τέλος ἀχθέντα τοῦ βίου Παλαίπολι ς· τὸ πάλαι[ὸν] Ἄργος πάλαισμ α· κακοτεχνία παλαισμοσύν η· πάλη παλαιστ ή· παλάμη, τὸ τεττάρων δακτύλων μέτρον, καὶ ἡ σπιθαμή παλαίστρ α· ὅπου οἱ παῖδες ἀλείφονται παλαίτερο ν· παλαιοτέρων ἱστοριῶν παλαιφάγο υ· πάλαι ἐσθιομένης παλαίφατ α· ἐκ παλαιοῦ χρόνου πεφατισμένα, ὅ ἐστι μεμαντευμένα.

pi 141 οἱ δὲ πάλαι τέλος ἔχοντα * πάλ η· ἀγών παλαιῶ ς· ῥάπισμα.

pi 143 [καὶ παλαιά παλαιῷ φωτ ί· πρεσβύτῃ γεγονότι παλακῖνο ς· πολεμιστήριος παλάμα ι· αἱ χεῖρες.

pi 146 καὶ αἱ τέχναι. ἐπεὶ δι’ αὐτῶν πολλὰ μαιόμεθα παλάμ η· τέχνη.

pi 147 χείρ παλαμήσα ς· τεχνάσας.

pi 148 ἐργάσας παλαμήσασθα ι· τεχνάσασθαι.

pi 149 καὶ τὰ ὅμοια πάλαμι ς· τεχνίτης, παρὰ τοῖς Σαλαμ(ι)νίοις ( * ) παλαμέω ν· τεχνῶν παλαμναῖο ς· ἀποτρόπαιος.

pi 151 σκληρός. φονεύς, ὁ αὐτοχειρίᾳ τινὰ ἀνελών. ὁ ἐνεχόμενος μιάσματι οἰκείῳ [ πάλανον ἀφρό ν· πεπηγότα ἀφρόν] παλάξα ι· βρέξαι· ἔνθεν καὶ πηλὸς ἡ βεβρεγμένη γῆ.

pi 153 ἢ μαλάξαι, συνθράσαι * παλάσσετ ο· διεβρέχετο.

pi 154 ἐφύρετο. ἐμολύνετο. ἀνεπίμπλατο. ἐμαλάσσετο π (α )λάσι α· τὰ συγκεκομμένα σῦκα.

pi 155 καὶ διὰ τοῦ θ π (α )λάθια καὶ παλάθη παλαστῶσα ι· χειροτονῆσαι παλάχ η· ἀρχή.

pi 157 λῆξις. μοῖρα. γενεά παλαχῆθε ν· ἐκ γενεᾶς.

pi 158 ἐκ παλαιοῦ * παλαίστρ α· ἀγωνία παλεύετα ι· θηρεύεται, ἀγρεύεται παλεύσα ς· τὰ αὐτά.

pi 161 καὶ ὑπαγαγόμενος· παράνομον γάμον παλεύσας. μετῆκται δὲ ἀπὸ τῶν περιστερῶν. λέγονται γὰρ παλεύτριαι αὗται αἱ ἐξαπατῶσαι καὶ ὑπάγουσαι πρὸς ἑαυτὰ ἤγουν ἐνεδρεύουσαι παλευτα ί· οἱ τὰ λίνα ἱστῶντες, οἷς τὰ θηρία παλεύεται παλημάτιο ν· τὸ λεπτὸν ἄλευρον πάλη ν· ἄλευρα.

pi 164 καὶ σποδός. τὸ λεπτότατον τοῦ ἀλεύρου * παλαμναῖο ς· φονεύς.

pi 165 ἀντίθεος [θεῷ.] μεμιασμένος παλήσει ε· διαφθαρείη παλιτούτ η· πλίνθος πάλθοι ς· τόξοις.

pi 168 σφενδόναις [ παλίβολο ς· ἄστατος, εὐμετάβολος, ἢ εὐμετάβλητος] παλι (γ )γλώσσ ῳ· βλασφήμῳ παλιγκάπηλο ς· ὁ μετάβολος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

pi 171 ὁ τὸ αὐτὸ ἀεὶ ἀγοράζων καὶ πωλῶν. ὡς παλίνδουλος ὁ πολλάκις δουλεύσας παλίγκλαστο ν· σκολιόν.

pi 172 αὐστηρόν. δύστροπον παλίγκοτ α· οὐκ ἀξιόχρεα.

pi 173 ὀργίλα. ἐχθρά. καὶ τὰ ὅμοια παλιγκώ α· πλάνη παλ ( .

pi 175 )ίζεσθα ι· σφαιρίζειν Παλικο ί· Ἀδράνῳ δύο γεννῶνται υἱοὶ Παλικοί, οἳ νῦν τῆς Συρακουσίας εἰσὶ κρατῆρες, οἱ καλούμενοι Παλικοί, οἱ καὶ κατοικήσαντες αὐτήν παλίλλογ α· παλινσύλλεκτα παλιλλογί α· ταυτολογία παλίμβιο ς· ὡς ἐξ ἀναβιώσεως παλίμβολον κήρυκ α· τινὲς τὰ ἐναντία βουλευόμενον.

pi 180 οὐκ εὖ. γνώμο(ν)α γὰρ δηλοῖ παλίμβολο ς· ἀκατάλληλος, ἀνάρμοστος, ἀπερίστατος.

pi 181 τρίπρατο ς. ὁ πολλάκις ἐπὶ μεταβολῇ ἀπημπολημένος, κοῦφός τε καὶ οὐ βέβαιος, ἀκατάλληλος. ἀπ’ ἄλλου εἰς ἄλλον μεταβαίνων παλίμβολο ς· ἀδόκιμος, ἀνελεύθερος παλιμπετέ ς· εἰς τοὐπίσω πεπτωκός παλιμπετή ς· ὀπισθόρμητος, ἢ ἐναντιοπετής πάλιμ πλαχθέντα ς· ὀπίσω πλανητούς, οἷον ὑποστρέψαντας εἰς τοὐπίσω, ἢ πλανηθέντας παλιμπόρους βάκχους παλιμπρυμνηδό ν· οἷον παλίμπρυμνον χώρησιν.

pi 187 προῆλθεν εἰς τοὔμπροσθεν ἀνακάμπτουσα, ὡς ἐπὶ πρύμναν κροῦσαι παλιμπυγηδό ν· τὸ εἰς τοὐπίσω ἀναποδίζειν παλίμφημ α· κακόφημα, δύσφημα, βλάσφημα πάλι ν· εἰς τοὐπίσω.

pi 190 Ἀρίσταρχος τὸ πλέον πάλιν τοπικῶς χρῆσθαί φησι τὸν ποιητήν, καὶ οὐχ, ὡς ἡμεῖς, χρονικῶς παλινάγγελο ς· ὁ ἐξ ὑποστροφῆς ἄγγελος, ὅταν ἀπαγγείλας τινὶ ἀπὸ τούτου ἑτέραν φάσιν ἀποφέρῃ παλινάγρετ α· εὐμετάβλητα, τὰ χαρίσματα τὰ ἐκ μεταμελείας πάλιν ἀναλαμβανόμενα παλινάγρετο ν· παλίλληπτον.

pi 193 μεταμελητόν παλιναίρετο ν· ἐπεσκευασμένον, καὶ οἷον ἐκ παλαιοῦ (κε)καινοποιημένον.

pi 194 παλισύῤῥαπτον παλινδαέ ς· παλίγγνωστον παλινδ [ε ]ινί α· [πάλιν γεννῆσαι] ἡ ἐξ ὑποστροφῆς ὑδάτων παλινδικε ῖ· ἐπισυνάπτει δίκην παλινδικί α· ἡ ἐξ ἀρχῆς δίκη * παλιγγενεσί α· τὸ ἐκ δευτέρου ἀναγεννηθῆναι, ἢ ἀνακαινισθῆναι παλινδίνητο ν· συνεχές .

pi 200 ..... παλινδορί α· τὸ σκύτος.

pi 201 Πλάτων Σύρφακι· σὲ μὲν, ὦ μοχθηρέ, παλινδορίαν παίσας αὐτοῦ καταθήσω παλινδρομε ῖ· ἀνατρέχει.

pi 202 ὑποστρέφει * πάλιν ἐρέε ι· ἐναντιωθήσεται.

pi 203 ἢ ἀντερεῖ * παλίνορσο ς· ὀπισθόρμητος.

pi 204 πάλιν ὑποστρέψας * παλινδ (.

pi 205 . )ί α· ἡ ἐξ ὑποστροφῆς λεγομένη δίκη παλιμπλά (γ )κτοισι [ν].

pi 208 ὀπισθορμήτοις παλινοιωνία ι· ἐκ δευτέρου μαντεῖαι παλίνπιττ α· ἑφθὴ πίττα παλινσάγη ς· χήρα γυνή .

pi 209 ....... παλίνσκιο ς· σύ[ν]σκιος, σκοτεινός, ζοφώδης.

pi 210 τὸ γὰρ πάλιν ἐνιαχοῦ ἐπίτασιν δηλοῖ, ὡς παλινκάπηλος παλίμπρα [κ ]τος παλίντιτ α· ὀπισθέκτι[σ]τα, ὅ ἐστιν ἐξ ὑποστροφῆς τιμωρίαν δώσοντα παλίντον α· ὀπισ(θ)ότονα, ἢ τὰ ἐπὶ θάτερα τρεπόμενα παλιντριβε ῖ· κακεντρεχεῖ παλιντροπά [σ ]ασθα ι· εἰς τοὐπίσω τρέπεσθαι * παλινοστήσα ς· εἰς τοὐπίσω ἐπανελθών παλινῳδία ν· ᾠδὴν τῇ προτέρᾳ ἐναντίαν.

pi 216 ἢ δόγμα τῷ πρώην ἐναντίον [ παλίνωξι ς· ἡ ἐξ ὑποστροφῆς δίωξις] παλινώρου ς· ἄκοντας παλίνωρο ν· εἰς τοὐπίσω ἐξέκλασεν καὶ ἐξέβαλεν.

pi 219 ἀπὸ τῶν ἐκκοκκιζομένων ῥοιῶν παλίουρο ς· κάδος.

pi 220

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντλητήρ. καὶ τὸ θαμνῶδες δένδρον παλιῤῥόθιο ν· παλιῤῥόουν.

pi 221 ἐκ τοῦ ὄπισθεν ὡρμηκός, ἢ εἰς τοὐπίσω φερόμενον παλίῤῥυτο ν· εἰς τοὐπίσω ἑλκόμενον παλίσσυτο ι· ἀναχωρήσαντες παλίσσυτο ν· ἐξ ὑποστροφῆς παλίωξι ς· ἡ ἐξ ὑποστροφῆς δίωξις, ὅταν οἱ πρότερον φεύγοντες ἔσχατον διῶκται γένωνται πάλκο ς· πηλός πάλλ α· σφαῖρα ἐκ ποικίλων ναμάτων πεποιημένη Παλλάδος πρόσωπο ν· στατήρ, ἐπὶ μὲν ἑνὸς μέρους Ἀθηνᾶς πρόσωπον, ἐπὶ δὲ θατέρου τὴν γλαῦκα .

pi 228 ... παλλάκιο ν· μειράκιον παλλακό ς· ἐρρωμένος Παλλάντιο ς· Ζεὺς ἐν Τραπεζοῦντι Παλλαντί ς· ἡ Τριτωνὶς λίμνη Παλλάς · Ἀθην ᾶ, ἡ παίουσα τοὺς αὐλούς [ παλ [λ ]άσσει ν· ταράσσειν.

pi 234 βρέχειν. μολύνειν] παλλάχανο ν· κρόμμυον.

pi 235 Ἀσκαλωνῖται πάλλε [ν]· ἔβαλεν.

pi 236 ἐκράδαινεν πάλλε ι· κινεῖται, ἅλλεται πάλλει ν· κινεῖν.

pi 238 πηδᾶν. κληροῦν. κραδαίνειν. στρέφειν * πάλλετα ι· πηδᾷ.

pi 239 σείεται. καὶ τὰ ὅμοια πάλλεσθα ι· κληροῦσθαι.

pi 240 ἅλλεσθαι πάλλευκο ν· εὐήμερον Παλληνί [α ] ς· ἡ Ἀθηνᾶ, ἐν Χαλκίδι * παλλί α· ἀγών.

pi 243 οἱ δὲ τῷ Πάλει. ἔνιοι δὲ τῷ Πανί πάλλη ξ· βούπαις παλλιχία ρ· πεμμάτιόν τι παρὰ Λάκωσι * πάλλετα ι· πηδᾷ.

pi 246 σείεται. κραδαίνεται. κινεῖται. σφύζει * πάλλο ν· ἔσειον.

pi 247 καὶ τὰ ὅμοια * πάλλω ν· κινῶν, ταράσσων * παλλομένω ν· κληρουμένων παλλύτα ς· ὄργανον βασανιστήριον πάλμ η· γέῤῥον παλμό ς· τρόμος.

pi 252 σεισμός. καὶ τὰ ὅμοια παλμυό ς· βασιλεύς.

pi 253 πατήρ. οἱ δὲ πάλμυς [ Παλμύτη ς· Αἰγύπτιος θεός] [ πάλνη ς· πλάνης.

pi 255 ἀπάτης] * παλλωΐ α· τὸ μὴ τυχεῖν βάλλοντα πάλ [λ ]ο ς· κλῆρος.

pi 257 ἀπὸ τοῦ πάλλεσθαι, πρὸς τὴν ἄρ[νη]σιν τοῦ λαγχάνοντος. καὶ τό· κλήρους δ᾽ ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντες πάλ [λ ]ος ἔζευξε ν· .

pi 258 ..... [ παλλουμένω ν· κληρουμένων] [ πάλ οις αι ς , τοῦ πάλλεσθαι, καὶ τὰ ὅμοια] παλτ ά· ἀκόντια.

pi 261 λόγχαι πάλτ ο· ἥλατο.

pi 262 ἀπέβη παλτό ν· κληρωτήν παλτῶ ν· ἀκοντίων παλύνα ς· τὸ λεπτὸν τῆς γῆς ἐπιβαλών, τὴν λεγομένην χυτή ν.

pi 265 εἴρηκε δὲ ἀπὸ τοῦ ἀλεύρου· ἐπὶ δ᾽ ἄλφιτα λευκὰ[νειν] παλύνειν πάσσει(ν) παμβῶτις τύχ η· ἐλπὶς παντοτρόφος Παμισό ς· ποταμός παμμάκα ρ· κατὰ πάντα μακαριστός παμμέγεθε ς· λίαν μέγα παμμελέσι ν· ἐνμελέσι.

pi 270 γλυκερέσιν παμμήστορ α· πάντων τεχνίτην πάμπα ν· παντελῶς.

pi 272 ὁλοτελῶς. ὁμοίως. ὄντως Πάμπανο ν· ἡ Δημήτηρ ἐν Ἡρακλείᾳ παμπήδη ν· ὁλοσχερῶς.

pi 274 παντελῶς παμπησ [σ ]ί α· πᾶσα ἡ ὕπαρξις παμποίκιλο ς· πολύτροπος * πάνπρωτο ν· πάντων πρῶτον παμφάγο ς· πάντα δαπανῶν παμφαέ ς· φαιδρότατον.

pi 279 πάντα φωτίζον παμφαίνει ν· λάμπειν, στίλβειν, ἀστράπτειν παμφαλύζε ι· τρέμει παμφανά ᾳ· λάμπει παμφανόωντ α· λαμπρόν, πάντοθεν λάμποντα παμφαοῦ ς· πάντα φωτιζούσης παμφθόγγ ῳ· παμφώνῳ πάμφ ι· παντάπασι Παμφίδε ς· γυναῖκες Ἀθήνησιν ἀπὸ Πάμφου τὸ γένος ἔχουσαι παμφόρ ῳ· πάντα φέροντι παμ [μ ]ωχίω ν· κεκτημένος παμῶχο ς· ὁ κύριος.

pi 290 Ἰταλοί. καὶ ἡ δεκάς. [καὶ τὸ φιλεῖν τῷ στόματι τὰ παιδία [καὶ] τὸν πατέρα πᾶ ν· ὅλον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

pi 291 τὸ πᾶ ν· τὸ ὅλον παναγ ῆ· καθαρά.

pi 292 ἅγια παναγή ς· καθαρός, κατὰ πᾶν ἁγνός [ παναγιστία ς· παναγίας] πάναγρ α· [πανάγρια,] ἐν οἷς τὰ λεπτὰ καὶ ἁδρὰ θηρεύεται πανάγρο υ· τοῦ πάντα ἀγρεύοντος παναθήναι α· ἡ τῶν Ἀθηναίων ἑορτή.

pi 297 καὶ ὁ ἀγών παναιεῖ ς· Ἀθήνησιν ἱέρειαι παναίθῃσι ν· ὅλαις λαμπραῖς· παναίθῃσι(ν) κορύθεσ(σ)ι πάναιθο ν· λαμπρόν παναίθετο ς· πάντα ἀπαραίτητος παναίγυλο ς· πανκάκουργος παναϊ̈ α· ἱέρεια, ἥτις οὐ μίσγεται ἀνδρί Παναΐ [ν ]ο ι· ἔθνος Θρᾴκιον παναίολο ς· παμποίκιλος πανάκει α· θεραπεία πάν ( α κ )ε ς· βοτάνη τις, ἣ πολλοῖς ὀνόμασι καλεῖται Πάνακτο ς· ἡ ὀρίγανος.

pi 308 καὶ τόπος ἐν τῇ Ἀττικῇ παναλκέ ς· ἰσχυρόν.

pi 309 παντοδύναμον πανάμερο ς· δι’ ὅλης ἡμέρας πανάμωμο ς· ἀρεστός πανάποτμο ς· ἀθλιώτατος, κατὰ πάντα κακόποτμος, ὅ ἐστι παντελῶς κακόμορος παναρμόνιο ν· εἶδος ὀργάνου, ἐξ ὅλου τεταγμένον.

pi 313 Ἁρμονία γὰρ ἡ εὔτακτος ἀκολουθία * πανάργυρο ν· ὅλον ἀργυροῦν πανασκηθέ α· πάντα ὑγιῆ παναφήλικ α· πάντων ὁμηλίκων ἀπεληλαμένον ἐκτός Παναχαιῶ ν· πάντων Ἑλλήνων παναώριο ν· πάντων ἀωρότατον.

pi 318 καὶ ἄμοιρον. ἢ κατὰ πάντα ἄωρον πανδαισί α· ἡ πάσαις ταῖς αἰσθήσεσιν ἡδονὰς παρέχουσα εὐωχία, ἢ πολυτελὴς τράπεζα πανδαισία ν· τὴν παντοδαπὰ ἐδέσματα καὶ πολυτελῆ ἔχουσαν πανδαμάτω ρ· ὁ πάντας δαμάζων πανδαμικο ί· παιδικοὶ χιτῶνες ἐν ταῖς πομπαῖς πανδ [ε ]ῖ α· ἑορτὴ Ἀθήνησι πανδερκεῖ ς· πάντα ὁρῶντες πᾶν δ ’ ἦμα ρ· δι’ ὅλης δὲ τῆς ἡμέρας πανδημε ί· σὺν παντὶ τῷ δήμῳ πανδήμιο ς· ὁ καθ’ ὅλον τὸν δῆμον ἀναστρεφόμενος πανδήμο υ· δημοσίας, κοινῆς πανδοκ (ε )ῖο ν· πανδοχ(ε)ῖον πάνδο ξ· ὁ ἐν πανδοχ(ε)ίῳ οἰκῶν πανδοῦρα ἢ πανδουρί ς· ὄργανον μουσικόν.

pi 331 Πάνδουρος δὲ ὁ μεταχειριζόμενος τὸ ὄργανον Πανδοσί α· πόλις τῆς Ἠπείρου καὶ Ἰταλίας πανδοχεύ ς· ἐπιδέξιος, ὁ πάντας δεχόμενος πανδώρ α· ἡ γῆ, ὅτι τὰ πρὸς τὸ ζῆν πάντα δωρεῖται.

pi 334 ἀφ’ οὗ καὶ ζείδωρος καὶ ἀνησιδώρα πάνει α· κεχορτασμένη πανείπα ς· ἀναιδής πανέξαλλο ν· ἐν πᾶσιν ἀλλότριον * παναίολο ς· παμποίκιλος πᾶνε ς· τοὺς ἐσπουδακότας σφοδρῶς περὶ τὰς συνουσίας ἔλεγον [ πανέψιο ν· πᾶσι σύνοπτον] πανήγυρι ς· ἔπαινος.

pi 341 ἑορτή. θέατρον πανημαδό ν· διὰ βίου πανημέριο ς· οὐχ ὁ δι’ ὅλης ἡμέρας, ἀλλ’ ὁ ἀφ’ οὗ τι(ς) ἂν ἄρξηται μέρους· ἢ καὶ δι’ ὅλης τῆς ἡμέρας, καταχρηστικῶς πανήρε α· πᾶσιν ἀρέσκοντα πανήρεσ ι· κατὰ πάντα ἡρμοσμέναις πανῆρε ς· πᾶσιν ἀρέσκον.

pi 346 ποικίλον. παμμήχανον * πανήπορο ς· πανάπορος, ἐνδεής πανθρ (ό )ῳ δήμ ῳ· παῤῥησίαν ἄγοντι δήμῳ, πάντα θροοῦντι, ὥστε μηδὲν ὑποστέλλεσθαι πάνθρυλ [ι ]ο ν· τὸ πάντα θρυλοῦν πανθύλη ν· μονογενῆ τοῖς τόξοις ἢ σφενδόναις πανθυμαδό ν· πάσῃ τῇ ψυχῇ, ἢ παντὶ τῷ θυμῷ πάν θ ’ ὑπὸ μηνιθμό ν· περὶ πάντα τὸν τῆς μηνίδος χρόνον Πανί α· ἡ Πελοπόν(ν)ησος πανίας βήσσα ς· ὡς ἀπὸ τοῦ Πανός.

pi 354 Αἰσχύλος Καλλιστοῖ. [καὶ ὁ λευκὸς πάντη] [ἢ ὁ λευκὸς πάντη καὶ καθαρός. καὶ ὁ μέλας καθαρός πανικτό ν· Ἕρμιππος ἐν Στρατιώταις· ὥρα τοίνυν μετ’ ἐμοῦ χωρεῖν (τὸν) κωπητῆρα λαβόντα καὶ προσκεφάλαιον, ἵν’ ἐς τὴν ναῦν ἐμπηδήσας ῥοθιάξῃς.

pi 355 ἀλλ’ οὐ δέομαι πανικτὸν ἔχων τὸν πρωκτὸν (προσκεφαλαίου) πάνιο ν· αὐτόχρουν.

pi 356 ὁμοέχρουν. λευκόν. καθαρόν πανίῳ δαίμον ι· μανιώδει δαίμονι πανιώνιο ν· ἱερὸν Ποσειδῶνος ἐν Ἰωνίᾳ πάγκαλο ς· ἐξ ὅλου, κατὰ πάντα καλός πανκαρπί α· πανσπερμία πανκρατή ς· πάντων κρατῶν, καὶ ἄρχων, καὶ βασιλεύων * πάντ α· ὅλα παννόα ς· ὁ ἀπόπληκτος.

pi 363

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἀδολέσχης παννυχί η· δι’ ὅλης τῆς νυκτός παννυχί ς· ἑορτὴ νυκτερινή ( πανοικ ί)· σὺν ὅλῳ τῷ οἴκῳ πανόλβιο ς· παμμακάριστος [ πάνομαλφαί ῳ] πανομφαῖο ν· πεφημισμένον.

pi 369 [ἢ ὁ τὰ κακὰ ἀποστρέφων πανομφαί ῳ· ᾧ πᾶσα φήμη καὶ μαντεία ἀναφέρεται, τουτέστι κληδών Πανόπ η· πόλις Φωκίδος πανόπτη ς· πολυόφθαλμος.

pi 372 Ζεύς. Ἀχαιοί πάνοπτο ς· ὁ πανταχόθεν φαινόμενος πανορμί η· ἐπίθετον Ἀπόλλωνος πανὸς σκῶλο ν· ὄνομα σχήματος, ὅταν οἱ ἀπὸ σκώλου ᾖ πεπληγὼς [ἄντρον τι λέγεται σχῆμα πανὸς σκότο ς· οἷον νυκτερινὸς φαντασίας πανοσπρί α· σύνοδος [ πανοστρί α· συμμιγὴς πληθύς.

pi 378 σύνοδος] πᾶν ὁτιοῦ ν· οἷον δή ποτ’ οὖν, πᾶν τὸ τυχόν πανοῦργο ς· πάντα μανθάνων.

pi 380 δόλιος, πάντα ἐν πονηρίᾳ ἐργαζόμενος πανουλεύ ς· ἐξώλης πανούριο ς· πάντα οὔριος Πάνο ψ· ἥρως Ἀττικός.

pi 383 ἔστι δὲ αὐτοῦ καὶ νεώς, καὶ ἄγαλμα, καὶ κρήνη πανόψιο ν· πάντων ὁρώντων.

pi 384 πᾶσι σύνοπτον. λαμπρόν πανσαγί α· πανοπλία πανσθενεστάτ ῳ· ἰσχυροτάτῳ πανσυδί η· ὁμοῦ πάντες πάντα κάλων σείε ι· παροιμία ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων πάντα κινήσας πέτρο ν· παροιμία πάντα λίθον κινεῖ ν· παροιμία, ἧς μέμνηται Ἀρίσταρχος.

pi 390 ὅτε γὰρ Ξέρξης ἐπὶ τοὺς Ἕλληνας ἐστράτευσεν, ἡττηθεὶς παρὰ Σαλαμῖνι ..... παντάν α· τρυβλίον πάντα δ ’ ἀπὸ (π )λευρῶν χρόα ἔργαθε ν· οὐ κατὰ βάθους ἔτρωσεν, ἀλλ’ ἀπεῖρξε τοῦ χρωτὸς καὶ τῶν πλευρῶν τὸ δόρυ παντάπασ ι· παντελῶς.

pi 393 ὅλως πανταρκέ α· πᾶσι βοηθόν πανταρκή ς· ὁ πᾶσιν αὐταρκῶν.

pi 395 [ὁ] παντάσκιο ς· ὁ πάντοθεν σκιὰν οὐκ ἔχων πανταχῶ ς· πάντα τρόπον παντελέ ς· παντελῶς, ὁλοτελῶς παντελή ς· ὁλοτελής.

pi 399 [καὶ] παντεπόπτη ς· ὁ πάντα καθορῶν πάντε ς· ἀντὶ τοῦ οἱ πλεῖστοι πάντεσ (σ )ι ν· ὑπὲρ πάντων παντευχί α· πανοπλία πάντ η· πάντως.

pi 404 πανταχοῦ, πάντοθεν πάντη τ ε· πάντως πάντ η· πανταχοῦ (.

pi 406 .) ἑκάστῳ (....) παντὶ σθένε ι· ὅλῃ, πάσῃ δυνάμει παντίτ ῳ· παντί τινι παντοδαποῖ ς· διαφόροις παντοδαπό ς· παντοῖος.

pi 410 σύμμικτος παντοδα ( πῶ ν)· παντοίων.

pi 411 καὶ διαφόρων πάντοθε ν· πανταχόθεν, ἐξ ἑκάστου τόπου παντόθ ι· πανταχοῦ παντοίω ν· πάντων.

pi 414 πολυτρόπων παντοκράτω ρ· ὁ θεός, πάντων κρατῶν παντομάντειρα ι· μοῖραι πάντοσ ε· εἰς πάντα τόπον.

pi 417 πανταχοῦ πάντο ς ’ ἐΐση ν· πανταχόσε στρογγύλην παντώνι α· παντοδαπά * πάντω ν· πάντως * πάντω ν· ὑπὲρ πάντας * πάντων ἐκπαγλότατ ε· ὑπὲρ πάντας ἐκπληκτικώτατε πάντω ς· ἰσοδυναμεῖ ἀληθείᾳ.

pi 423 κυρίως πάντως θαρσαλέ η· κατὰ πάντα θρασεῖα πανυπερτάτ η· πασῶν ὑπερκειμένη τῶν παρακειμένων νήσων πανυπείροχο ν· πάντων μέγιστον πάνυσσ α· (σ)τρόφος.

pi 427 ἀναδέσμη. οἱ δὲ κειρίαν, ᾗ τὰς τρίχας ἀναλαμβάνουσι πανύστατο ν· πάντων ἔσχατον * παννυχίου ς· δι’ ὅλης νυκτός * πάντη τε καὶ πάντω ς· κατὰ λόγον καὶ τρόπον πάντα πανώλεθρο ν· ἐξῶλες, πανῶλες πανώλη ς· πανώλεθρος, ἐξώλης, ἀπολλύμενος πά ξ· ὑπόδημα εὐυπόδητον.

pi 433 ἢ τέλος ἔχει[ν] Πάξο ι· νῆσοι κατὰ Ἰταλίαν * παππάζοιε ν· πατέρα καλοῖεν [ παπαίδη ν· παντελῶς] * πάπα ς· πατρὸς ὑποκόρισμα πάππ α· προσφώνησις παι(δὸ)ς πρὸς πατέρα.

pi 438 παπα ῖ· σχετλιασμός παππ (ά )ζοιε ν· πατέρα καλοῖεν παππάζουσι ν· πατέρα προσαγορεύουσιν.

pi 441

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πεποίηται δὲ ἡ λέξις ἀπὸ τῶν παιδίων, ἃ τοῖς πατράσι λέγει πάππα πάππο ς· ἄκανθα· ἐπὰν γηράσῃ καὶ ἀποξηρανθῇ, καὶ ὑπὸ ἀνέμων ἐκριπίζηται, καὶ τόπον ἐκ τόπου μεταβάλλῃ.

pi 442 σημαίνει δὲ καὶ ὀρνέου εἶδος. καὶ πατρὸς ἢ μητρὸς πατέρα. καὶ τὴν ὑπὸ τῷ γενεί(ῳ) τρίχωσιν παπταίνει ν· περιβλέπειν πάντη παπταίνοντ α· ὁρῶντα [ παπταιγγε ῖ· περισκοπεῖ] παπτήνα ς· περισκοπήσας πάρ α· ἐγγύς.

pi 447 πάρεστι παραβαίνοντα ς· ἀρνητικούς.

pi 448 ἢ μὴ εὐθέως βαίνοντας παραβαλεῖ ς· ἀπατήσεις.

pi 449 παραθήσεις. παραδώσεις παραβαλλόμενα ι· ἐξαπατῶσαι.

pi 450 παρακα(τα)τιθέμεναι παραβαλλόμενο ς· ἐναποκινδυνεύων, ὅ ἐστι παραβόλως μαχόμενος * παράβολο ν· παράδοξον παραβαλο ῦ· ἀνάπαυσαι.

pi 453 ἀπὸ δὲ τῶν νεῶν ἡ μεταφορά παραβαλ ῶ· συγκρινῶ.

pi 454 παραθῶ, ὅμοιον παραβαλώ ν· ὁμοίως παραθείς παρ [α ]βεβαῶτε [ς]· παραβεβηκότες παραβλέπω ν· στραβός παραβλήδη ν· ἀπατητικῶς.

pi 458 παραλογιστικῶς. ἐξ ἀντιβολῆς παραβάλλοντες παραβληθησόμενο ς· συγκριθησόμενος παραβλητικό ς· παραβάλλων παραβλῶπα ς· παρορῶντας παραβλῶπε ς· ὁμοίως, διάστροφοι, τὰς ὄψεις διαστρέφοντες, καὶ παραβλέποντες παραβολ ή· πραγμάτων ὁμοίωσις παραβουλευσάμενο ς· εἰς θάνατον ἑαυτὸν ἐκδούς παραβραβευθεί ς· καταῤῥαγείς.

pi 465 παραμεληθείς παραβραβεύω ν· παρακρίνων παραβύουσα ν· παρακαμ(μ)ύουσαν παράβυστο ν· λάθρα γινόμενον, ἀπόκρυφον.

pi 468 ἀποκεκρυμμένον, ἢ μικρὸν κλινίδιον, παρατιθέμενον τῇ μεγάλῃ, ἔνιοι δὲ δικαστήριον οὕτω καλούμενον [ παραγάγγα ς· εἶδος μέτρου Περσικοῦ] πα ρ ’ ἀγαυοῦ Τιθωνοῖ ο· παρὰ τοῦ λαμπροῦ Τιθωνοῦ πάρα γ ε· ἐγγὺς δέ.

pi 471 ἢ κόψον παράγε ι· παρέρχεται.

pi 472 παραπέμπεται. φυλάσσεται. εἰσπορεύεται παραγκωνίσασθα ι· ἀποστρέψαι παραγόρευσι ν· ἄρνησιν παραγράφετα ι· ἐκβάλλεται παραγραφ ή· ζημία παραγράψα ι· ὃ ἡμεῖς λέγομεν διαγράψαι.

pi 477 καὶ τὸ ἐκ τραπέζης λαβόντα διὰ γραμμάτων τοῦ τραπεζίτου πιστώσασθαι παραγράψετα ι· οὐ παραδέξεται παραγυμνῶσα ι· φανεροποιῆσαι παραγωγα ί· ἀπάται.

pi 480 χρήσεις παραγωγά ς· χιτὼν παρὰ Πάρθοις πάρα δ έ· ἐγγὺς δέ παραδέδρομα [ι]· παρεμνήσθην παραδειχθέ ν· φανερωθέν παράδειγμ α· ὑπόδειγμα.

pi 485 ἢ παρασκευασθέν τι ἔλαττον εἰς μείζονα παραδειχθ ῶ· οὐ φαίνομαι παράδεισο ς· τίθεται ἐπὶ τῶν ἀναισθήτων.

pi 487 οἷς ἐστιν ἐμπεριπατεῖν. ἢ τόπος [ἔνυδρος ἤτοι] εὔυδρος, ἐν ᾧ περίπατοι. καὶ ἡ βασιλέως κατάλυσις πάρα δέ σο ι· πάρεστι δέ σοι παραδήμ ῳ· ἐξακούστῳ * παραδειγματίσα ι· φανερῶσαι.

pi 490 θριαμβεῦσαι παρὰ δίκη ν· παρὰ τὸ δίκαιον παρὰ δόξα ν· παρ’ ἐλπίδα, παρὰ προσδοκίαν παράδοξο ν· θαυμαστόν.

pi 493 ἀπροσδόκητον παράδοξο ς· ὁ παρὰ δόκησιν λεγόμενος παράδοσι ς· ἄγραφος διδασκαλία παραδόσεω ν· διδασκαλιῶν παραδραθέει ν· παρακοιμηθῆναι παραζηλῶ ν· παροξύνων, παρεξισῶν παραζωστρί ς· μικρὰ μάχαιρα παραθαλπόμενο ς· παραθερμαινόμενος.

pi 500 παρακμάζων. παραμυθούμενος παραθε ῖ· παρατρέχει παράθεμ α· ἐπίθεμα παραθέουσ ι· παρατρέχουσι παραθήγει ν· ἀκονᾶν, παροξύνειν παραθήκ η· παρακαταθήκη.

pi 505

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[παράθου παραθῆτα ι· ἐκβάλλῃ παρὰ θῖν α· παρὰ τὸν αἰγιαλόν * παραθέντε ς· ἐκβληθέντες παράθρανο ς· κώπη τις ἐν ταῖς παραθράνοις παρ [α ]θρέξεια ς· παραδράμοις [ παραθῶτ ε· ἐκβάλλει] παρα (ι )βάτα ι· οἱ ἐπὶ τῶν δίφρων ἑστῶτες μαχόμενοι, οἱ κύριοι τῶν ἁρμάτων πα ρ ʼ αἰγείρου θέ α· Ἐρατοσθένης φησί, ὅτι πλησίον αἰγείρου τινὸς θέα (αἴγειρος δέ ἐστι φυτοῦ εἶδος) ἐγγὺς τῶν ἰκρίων.

pi 513 ἕως οὖν τούτου τοῦ φυτοῦ ἐξετείνετο καὶ κατεσκευάζετο τὰ ἰκρία, ἅ ἐστιν ὀρθὰ ξύλα, ἔχοντα σανίδας προσδεδεμένας, οἷον βαθμούς, ἐφ' αἷς ἐκαθέζοντο, πρὸ τοῦ κατασκευασθῆναι τὸ θέατρον * παράδοξο ς· θαυμαστός. [5]

pi 514 ἐπάξιος. καὶ ὁ παρὰ δόκησιν λεγόμενος * Παραίλεω ς· ὄρος ἐγγὺς μ ρ θ ν ο * παραινε ῖ· συμβουλεύει παραιθένατ α· τὰ ἀπὸ τῶν μικρῶν δακτύλων παρὰ τὸ θέναρ, ἤγουν ἐπὶ τὸν καρπόν παραικάτι α· αἱ ἐπὶ τοῖς ζεύγεσι τῶν ὁπλιτῶν τάξεις παραίνεσι ς· συμβουλή, νουθεσία, σωφρονισμός παραίπαιμ α· παρακοπή παραὶ ποσ ί· παρὰ τοῖς ποσί παραιρεῖτα ι· ὀλίγα ἀφαιρεῖται παραιρήμ [μ ]ατ α· παράρματα ἱματίων παραιροῦντα ι· ἀφαιροῦνται * παραὶ ποσὶ κάππεσε θυμό ς· ἠγωνίασ(αν), καὶ κατέπεσαν τῇ γνώμῃ [ἢ ποσίν] παραισαβάζει ν· παραμεμηνέναι.

pi 526 ἀπὸ τοῦ Σάβου παραίσι [μ ] α· ἀλλοῖα τῶν προσηκόντων * παρίσομα ι· .

pi 528 ... παραΐσσοντ α· παρατρέχοντα παραίτησι ν· παράκλησιν παραίφασι ς· ἀπολογία.

pi 531 παραλογισμός. παραμυθία. συμβουλία. παρηγορία. παραίνεσις παραιφάσσε ι· τινάσσει.

pi 532 πηδᾷ. παρακινεῖ. καὶ τὰ ὅμοια παραιφηλούμεθ α· παραγόμεθα παρακαίρι α· παράκ(αι)ρα παρακαταθήκ η· ἐνέχυρον παρ [α ]κατέλεκτ ο· παρακατέκειτο παρακεκλημένο ι· παραμυθηθέντες, παρακληθέντες παρακεκόατα ι· παρανοεῖ παρακεκομμένο ν· ἄνανδρον παρακέκρουνται τῶν φρενῶ ν· (παρ)ηλλάττοντο παρακελεύσεσθα ι· προτρέψασθαι παρακελεύουσι ν· ἐπιτρέπουσιν παρακεχόρδικε ν· παρήλλαχεν.

pi 543 παρήμαρτεν παρακεώμεθ α· ἐγκείμενοι ὦμεν * παράκλητο ν· πνεῦμα λέγεται, ὡς τὰς παρακλήσεις τῶν ὅλων δεχόμενον * παρακλήτορε ς· παραμυθηταί * παρακλιδό ν· ἕνα παρ' ἕνα.

pi 547 παρακεκλιμένος. παρατετραμ(μ)ένος· ‚παρακλιδόν, οὐδ' ἀπατήσω' * παρὰ κληῖδος ἱμάντ α· παρὰ τοῦ τρυπήματος παραγομένου κλείθρου, δι' οὗ τὸν ἱμάντα ἐνιᾶσι παρακοᾶ ν· παρανοεῖν παρακοίτη ς· ὁ ἀνήρ.

pi 550 γυνὴ γαμετή, παλλακίς παράκοιτις παρακονᾶ ν· τὸ ἐν τῷ ἀσπάζεσθαι παρατρίβειν τὸ γένειον καὶ τὰς παρειάς παρακόπτε ι· μαίνεται παρακόρησο ν· παρακάλλυνον παρακοττε ῖ· παραφρονεῖ [ παράκρουσι ς· ἀπάτη.

pi 555 [παρενεγκεῖν] παρακροτήσαντε ς· παραθαρσύναντες παρακροτῶ ν· παροξύνων παρακρούε ι· πλανᾷ, ἐξαπατᾷ παρακρουσθέντε ς· παραλογισθέντες παρακρουσιχοίνικο ς· παραλογιζόμενος ἐν τῷ μέτρῳ.

pi 560 εἴρηται δὲ οὕτω διὰ τὸ κρούειν τὰ μέτρα καὶ διασείειν ἕνεκα τοῦ πλεονεκτεῖν παράκρουστο ς· μωρός παράκτη ς· ὁ τῶν κυνηγῶν τοὺς κύνας ἐπὶ τὴν θήραν ἄγων παρὰ κωφὸν ἀποπαρδε ῖ· ἡ παροιμία.

pi 563 πρόδηλος δὲ αὐτῆς ἡ αἰτία παραλαλοῦντο ς· .

pi 564 ..... παρὰ λαπάρη (ν)· παρὰ τὴν λαγόνα παραλέ ( λ ε )ξα ι· παρὰ τὸ τὰς ὑπερεχούσας (τρίχας) ἐν ταῖς ὀφρύσι παραλέγειν παραληρούντω ν· μωρὰ λαλούντων παραλί α· ἡ Ἀττική.

pi 568 ἔνθεν καὶ ἡ ναῦς πάραλος παραλία καὶ πάραλος καὶ παράλιο ς· παραθαλάσσιος * παραλαλε ῖ· φλυαρεῖ, μὴ γινώσκων ἃ λαλεῖ παραλίτη ς· ὁ ἀπὸ τῆς παράλου· ἡ δέ .

pi 571

Eulogikon public reading copy · View original HTML at eulogikon.org

... ἐστιν ἱερὰ ναῦς παραλλαγῆ ς· ἐναλλαγῆς, ἀλλοιώσεως παραλλάξα ι· * διάβηθι, πάρελθε παραλλάξα ς· ἐνηλλαγμένως.

pi 574 παρελθών πα ρ ’ ἀλλήλαι ς· ἐγγὺς ἀλλήλων παράλληλο ν· ἀκόλουθον, ὅμοιον τῷ μεταξὺ ὄν παραλογισμό ς· ἀπάτη λογισμοῦ παραλογιστή ς· ἀπατεών παράλογο ν· ἀλόγιστον πάραλ [ι ]ο ι· οἱ τὴν παράλιον οἰκοῦντες τῆς Ἀττικῆς παραλουργεῖ ς· οἱ ἧττον[ες] ἔνδοξοι καὶ ἔντιμοι· ὡσεὶ λέγοι τις· παραβαφή ς· Ἁλουργὲς γὰρ τὸ ἐκ τῆς θαλαττίας πορφύρας ὕφος παραλού ς· παρακρατηθείς.

pi 582 συσχεθείς παραλυθῆνα ι· ἀπολυθῆναι ( * ) παραλοῦμα ι· παροιμιωδῶς· ἐπεὶ ὑπὸ τῶν πλουσίων οἱ πένητες παρελοῦντο [ παραλώματ α· τὰ ἔξωθεν] παραλώματ α· τὰ ἔξωθεν τῶν μ ρών (σ)κεπασμάτων παραμαρτώ ν· ἀποτυχών [ παραμήνα ς· παραναγνούς παραμήξα ς· παραλλάξας] παραμεῦσα ι· παραλλάξαι.

pi 590 ἐκτραπῆναι Παραμήν η· ἡ τῶν θεῶν μήρα.

pi 591 Λυδοί παραμίξετα ι· γειτνιάσει πα ρ ’ ἄμμ ι· παρ’ ἐμοί [ παραμνείσ ω· παραμένοντι καὶ καταπραΰνοντι τὸ μένος, ἤγουν δύναμιν] παράμονο ς· καρτερός παραμυθία ν· παράκλησιν παραμυ ( θ ή )σασθα ι· συμβουλεῦσαι παρὰ ναῦφι ν· παρὰ τῶν νεῶν παρὰ νῆα ς· παρὰ τὰς ναῦς παρὰ νηυσ ί· παρὰ τοῖς πλοίοις παράνοι α· ὑπερηφανία παράνομο ς· ἄνομος, ἄδικος, ἄθεσμος.

pi 602 ἁμαρτία πάραντ α· τὰ παρὰ τὸ ἀντικρύ, οἷον πλάγια, τὰ παρατετραμμένα τῆς εὐθείας ὁδοῦ παράνυμφο ς· νυμφεύτρια παραξιφί ς· μάχαιρα παρ [ α ρ ]άορο ς· σειραφόρος παραό ς· ἀετὸς ὑπὸ Μακεδόνων παράπαγο ς· μάνδαλος θύρας παραπαίε ι· παρακόπτει, μαίνεται, ληρεῖ, παραφρονεῖ παραπαιόντω ς· ὁμοίως παράπαιστο ς· παραπλήξ.

pi 611 ἢ παρειμένος παράπα ν· παντελῶς, καθόλου παρὰ πάντα ς· ὑπὲρ πάντας παραπασσόμενο ς· ἐπιβαλλόμενος [ παραπείσ η· παραπαίξῃ] παραπέμποντε ς· ἀπωθούμενοι παραπεπ [ε ]ίθοιμ ι· παραπείθοιμι παραπεπλεγμένω ς· συμπεπλεγμένως παραπετάσματ α· παρακαλύμ(μ)ατα παράπηχυ [ν ] ἱμάτιο ν· τὸ παρ’ ἑκάτερον [μέρον] μέρος ἔχον πορφύραν παραπικραίνω ν· παροργίζων παραπλαγιάσα ς· πλαγιασάμενος παραπλάγξασ α· παρακρουσθῆναι ποιήσασα παραπλασμό ς· ὁ ἐν ταῖς τῶν αὐλῶν τρύπαις ῥύπος παραπλέξα ι· ἐμπλέξαι παραπλάσματ α· τὰ κηρία τὰ ἐπιτιθέμενα τοῖς ζητήμασιν ἐν τοῖς βιβλίοις παραπλῆγο ς· μανιώδους * παραπλῆγα ς· τοὺς τὰς ἄκρας ἀνατεινούσας ἔχοντας αἰγιαλούς.

pi 628 ἢ πέτρας παραπλήγω ν· μαινομένων * παραπληγί α· παρακοπή παραπλή ξ· παράφρων, τὰς φρένας βεβλαμ(μ)ένος, μανιώδης, παρακόπτων, παραφρονῶν παραπληξί α· μανία παραπλήσιο ς· ἐμφερής, ὅμοιος παραπλῆττο ν· ἐκπλῆττον παραπλόκαμο ς· ἡ παραπεπλεγμένη τὰς τρίχας παραπλομένοισ ι· παροῦσι [ παρὰ πλόνεσ ι· παρὰ πολλοῖς] παραπλώζει ν· τὸ παρὰ τὴν ὁδὸν ἵστασθαι, ἢ ἰέναι παρὰ πόδ α· εὐθέως.

pi 639 ἐγγύθεν παρὰ ποδ ί· παρὰ τοῖς ποσί παρὰ πολ ύ· πολύ παραποιεῖ ν· παραπράττειν παραποιήσασθα ι· παρασφραγίσαι παραπρονοῆσα ι· ἐνθυμηθῆναι, νοῆσαι παραπομπ ή· μετακομιδή παραρεῖ ν· φληναφεῖν παρα (ῥ )ρητο ί· παραινετικοί, σύμβουλοι, παραμυθητικοί παρα (ῥ )ρητοῖσ ι· παραμυθηταῖς παραῤ (ῥ )ύματ α· δέῤῥεις παραρτίζεσθα ι· παρασκευάζεσθαι παραρυῇ ς· μετεωρισθῇς, παραπέσῃς παράρυμ α· Σοφοκλῆς Πολυξένῃ παράρυμα ποδός, ὡς κρεμαμένων τινῶν ὑφασμάτων ἐκ τοῦ ἅρματος πρὸς κάλλος.

pi 652 τινὲς δὲ σχοινίον ἐν ταῖς ναυσίν. οἱ δὲ ὑπόδημα παραρυμί ς· τὸ παρὰ τὸν ῥυμόν παραρυτεῖ ν· παρέχειν * παραρυῶμε ν· ἐξολισθῶμεν * παραρυόμενο ν· παραπεσό[μενο]ν, παραῤ(ῥ)υέν παρασάγγα ς· εἶδος μέτρου Περσικοῦ παρασαγγιλόγ ω· οἱ Πέρσαι τοὺς διαγγέλλοντας οὕτω λέγουσι παρασάγγη ς· μέτρον ὁδοῦ, τριάκοντα σταδίους ἔχον παρασαρῶσα ι· ἐροὴ δὲ καὶ [κάλυθρον ἢ] κάλλυντρον τὸ σάρον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

pi 660 καὶ κόρηθρον καλεῖται παρασεσυρμένο ι· παρελκυσμένοι, ὑπεσκελισμένοι παράσημ α· τεράστια παρασημαίνε ι· παραχαράττει.

pi 663 παραδηλοῖ παράσημο ν· ἀδόκιμον, κίβδηλον.

pi 664 ἀπὸ τὸ καὶ νομισμάτων τὰ κίβδηλα παράσημα λέγεται παράσιτο ι· ἀρχὴ ἐπὶ τὴν τοῦ ἱεροῦ σίτου ἐκδοχήν .

pi 665 ..... παράσιτο ς· κοσσοτράπεζος παρασιωπῶ ν· μακροθυμῶν παρασκευάζετα ι· εὐτρεπίζεται, ἑτοιμάζετο παρασπά ς· φυτὸν ἀπεσπασμένον παρασπάσησθ ε· ἀφέλησθε παρασπίζουσ α· σύνουσ(α).

pi 671 συνοικοῦσα παρασπιστή ς· παρεστώς.

pi 672 ὁπλίτης παρασπονδήσα ς· παραβὰς τὰς συνθήκας παρασπονδοῦντε ς· ἐχθραίνοντες.

pi 674 πολεμοῦντες παρασπῶ ν· συλῶν παραστάδε ς· οἱ πρὸς τοῖς τοίχοις τετ[ρ]αμένοι κίονες παρασταδό ν· ἐκ τοῦ σύνεγγυς, ἢ παραστάντες, ἢ παραστατικῶς, ἢ κατὰ τρόπον, ἢ κατὰ τὸ δέον παρασταθμίδε ς· τῆς θύρας τὰ πρὸς τῷ στρόφιγγι παράστανο ν· λόγχη παράστασι ς· φυγή.

pi 680 καὶ τὸ φυγαδεῦσαι παραστήσασθαι παραστάτα ι· τὰ ἀπὸ τῶν νεφ(ρ)ῶν ἀγγεῖα.

pi 681 καὶ οἱ πρὸς τὰς ὤας στήμονες παραστάτη ν· προστάτην παραστάτησο ν· παραστάτης γενοῦ.

pi 683 νίκησον παραστατί ς· ἀγγεῖον θερμαντικόν παραστέλλετα ι· ἀναστέλλεται παραστέλλω ν· ἀναστέλλων παραστησάμενο ς· μετακαλεσάμενος παραστίζουσα [ ἢ παραστίζων ἢ παραστιχθεί ς]· ἐπ(ε)ὶ τῶν [ἀνακλυσετῶν] ἀφυστερούντων τὰ ὀνόματα παρέστικται.

pi 688 [Σώφρων δὲ κεντήματά φησιν.] ἄλλοι, ὡς ἀπόντα [τινὰ] παραστήσουσα σημειουμένη παραστόρνυτα ι· καὶ τὸ λεῖον ποιῆσαι ξίφος, καὶ τὸ παράστροτον * παρασυνεβλήθ η· ὡμοιώθη παρασύρε ι· χαυνοῖ.

pi 691 παρατρέπει παρασυρέντε ς· παρατραπέντες παρασυρ ῶ· παρατρέψω, καὶ τὰ ὅμοια παρά σφιν ἢ παρά σφισι ν· παρ' [ἑ]αὐτοῖς * παράχασο ν· ἀναχώρησον παρασχεδιαζομέν η· παραχαραττομένη παράταξι ς· πόλεμος.

pi 697 φάλαγξ. καὶ ὄνομα παρατάσσετα ι· ἐν πολέμῳ ἀνθίσταται παρατατικό ς· ἐκτεταμένος παρατέθηγμα ι· παρηκόνημαι.

pi 700 παρωξύνθην παρατεθηγμένο ς· ἠκονημένος παρατείνε ι· παρέλκει.

pi 702 πλατύνει παρατεκτήναιτ ο· παρὰ τὰ ὄντα κατασκευάσειεν παρατενεῖ ς· ἀπολεῖς παρατέτακτα ι· ἡτοίμασται παρατηρημάτω ν· ἐπιτηρήσεων, παραφυλάξεων [ * παρατούριο ν· ἀντίπανον.

pi 707 κράσπεδον * παραχαράκτη ς· διαστροφεύς, παρατρωτὴς τῶν εὖ τεθέντων νόμων παρατηρημάτω ν· ἐπιτηρήσεων,] κληδονισμῶν τε καὶ ἀπαντήσεων παρατρέπε ι· παραγορεῖ παρατρέχε ι· παρέρχεται * παρὰ τὸ εἰκό ς· παρὰ τὸ δέον παρατρέψα ι· παρενέγκαι.

pi 713 πορθῆσαι παρατρέψα ς· παρελάσας παρατροπαῖ ς· μεταβολαῖς παρατροπέω ν· παρατρωπῶν.

pi 716 παραλογιζόμενος παρατρύζε ι· παραφωνεῖ.

pi 717 γογγύζει παρατρύζουσ ι· γογγύζουσι.

pi 718 καὶ τὰ ὅμοια παρατρωπῶ ς'· παρατρέπουσι, παραπείθουσι τῆς ὀργῆς παρατ [ρ ]υχώ ν· παρών παραύδ α· παραφώνει, παρηγόρει παραύλι α· τὰ παρὰ τὴν αὐλήν, οἷον πρόχωρα πάραυλο ς· πάραυλος Ἑλλησποντίς, ὡραία θέρους, ἡ κατὰ τὸ θέρος ἀκμάζουσα παραυτ ά· παραχρῆμα, εὐθέως, παραυτίκα πα ρ ' αὐτόφ ι· παρ' αὐτῷ παραυχενίζω ν· παρακλίνων παράφημ ι· παραινῶ.

pi 727 παραμυθοῦμαι. συμβουλεύω παραφθαίησ ι· παραδράμοι παράφορ α· παρατετραμμένα παραφορμ ά· ἀρχή τις τῶν συνεξιόντων βασιλεῖ παράφορο ς· παραφερόμενος.

pi 731

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρόμοιος. ἐξεστηκώς παράφρω ν· ἀνόητος παραχαράσσο ν· παραλλάσσον, παρασημαῖνον παρὰ χεῖρ α· μετὰ χεῖρα, ἐν χερσί παραχρᾶτα ι· κακῶς λέγει παραχρῆμ α· παραυτίκα.

pi 736 [ἀθρόως.] εὐθέως παραχωρημάτω ν· ἐκβολῶν [ παραψίδε ς· τὰ μεγάλα τρύβλια] παραψυχ ή· παραμυθία παρδακῶ ν· διύγρων παρδαλέη ν· παρδάλεως δοράν πάρδαλι ς· ποιὸς ὄρνις πὰρ δ έ· παρὰ δέ πάρδικο ς· ἡ οἰκοδομὴ τῆς καθέδρας παρεᾶσα ι· πλαγιάσαι παρέβασκ ε· παρεβάτει [ παρεβλήδη ν· ἐρεθιστικῶς] παρεγγεγραμμένο ς· ὁ μὴ κατὰ νόμον τοῖς πολίταις (ἐν)τεταγμένος.

pi 748 δημοποίητος [παῖς] παρέγγ [ έ γ ]ραπτο ς· νόθος.

pi 749 παρεγγεγραμμένος παρεγγραφέντω ν· ῥᾳδιουργηθέντων παρεγγυ ᾷ· παραγγέλλει.

pi 751 διαδίδωσιν παρεγγυᾶτα ι· λέγει.

pi 752 παραδίδωσιν. ἐντέλλεται. παραινεῖ. διδάσκει. προλέγει. παραγγέλλει. διαβεβαιοῦται. ἢ παρεγγυᾷ παρεγγυήσαντο ς· παρασχόντος παρεγχρίψετα ι· ἐγγίσει, προσπελάσει * πα ρ ’ αἰδοίῃσ ι· παρὰ ταῖς αἰδοῦς ἀξίαις πάρεδρο ν· παρακαθήμενον.

pi 756 παραμένον. σύνθρονος πάρεδρο ς· ἀρχή τις „καὶ αὐτὴ ἡ κελεύουσα παρέδρους δίδο[υ]σθαι ὑπὲρ τοῦ τὸν ἁμαρτάνοντα μηνύεσθαι“ παρέζε ο· παρακαθέζου παρεζόμενο ς· παρακαθήμενος παρεθεί ς· ἐκβληθείς.

pi 760 ἢ ἐάσας παρεθεωροῦντ ο· κατεφρονοῦντο παρεθήγοντ ο· παρωξύνοντο παρει ά· γνάθος * πάρε ι· ἦλθες παρεῖαι ὄφει ς· ὄφεων εἴδη μεγάλας παρειὰς ἐχόντων· ταῦτα δὲ ἥκιστα δάκνει ἀνθρώπους παρείθ η· παρελύθη, ἐχαυνώθη.

pi 766 ἐκρεμάσθη, ἐχαλάσθη. ἐάθη [ παρείεμα ι· παραλέλυμαι] παρεικάθ η· παρέλθῃ.

pi 768 [παρελύθη] παρείκαμε ν· παρεπέμψαμεν παρείκε ι· παρέρχεται [ παρείκουλο ν· ἀπόφασις ἄρχοντα] παρεῖμα ι· παραλέλυμαι, ἐκλέλυμαι παρειμένο ς· παραλελυμένος, ἐκλελυμένος, παράλυτος.

pi 773 παρεωραμένος. τετελευτηκώς. ἢ καταπεφρονημένος παρειμένω ς· καταφρονητικῶς, ὁμοίως πάρειμ ι· ἐῶ.

pi 775 ἢ παραλελυμένος [ παρείμη ν· εὑρέθην.

pi 776 ὑπῆρχον] παρεῖνα ι· ἐᾶσαι παρεῖξα ι· παραχωρῆσαι παρείπ ῃ· παραλογίσηται παρειπεῖ ν· παραμυθήσασθαι.

pi 780 παραινέσαι. παραπείσειν. παραλογίσασθαι * παρειμένω ν· παρεωραμένων [ παρεῖρξα ν· ἐκώλυσαν] παρεί ς· ἐάσας, ἀφείς, καταλιπών παρείσακτο ν· ἀλλότριον παρείσανο ν· κράσπεδον, ἀκρωτήριον [ παρείσ η· παραστίκης] παρείσθωσα ν· παραλυέσθωσαν πάρεισι ν· εἰσίν παρεισκρίνετα ι· παρεισέρχεται.

pi 789 παρεισβάλλει παρεισρέω ν· παρεισερχόμενος πάρ [ε ]ιτ ε· παρέλθετε παρεκίρν α· παρέμισγε παρεκλήθ η· παρεμυθή(θη) παρέκλησ ε· παρῆλθεν παρὲκ νόον ἤγαγέ [ μο υ]· τὸν νοῦν παρελογίσατό μου παρὲκ μίτο ν· παρὰ τὸ(ν) μίτον παρεκναμε [ ν ο ]ῦντ ο· παρεπ[ιπ]ορεύοντο ἐπιπόνως παρεκρότε ι· παρώξυνεν παρεκρούσατ ο· ἐχλεύασεν.

pi 799 παρεψηφίσατο. διεσκέδασεν παρεκτικό ν· παρεχόμενον παρεκόπτο υ· ἠφάνιζες παρέλαβε ς· ἐπαιδεύθης παρελάσα ς· παραδραμών παρελέγετ ο· παρὰ τὸν αἰγιαλὸν ἔπλεεν παρελέξατ ο· ἐκοιμήθη.

pi 805 παρεκλίθη. ἢ παρεπλέξατο· τὸ γὰρ παραπλέξαι τινὲς παραλέξασθαι καὶ λέξασθαι λέγουσιν παρελεύσεα ι· παραδραμεῖς· καὶ παραλογίσῃ παρελεύσετα ι· παραδράμῃ, παρέλθῃ παρεληλυθότα ς· παραβαίνοντας παρελθόντω ν· εἰσελθόντων παρέλκετα ι· διατρίβει παρέλκο ν· περισσόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

pi 811 [περιττόν.] βραδύ. παρατεῖνον παρέλκυσι ς· βράδος, βραδυτής παρελογίσασθ ε· ἠπατήσατε, ἐψεύσασθε, ἐχλευάσατε παρελύθησα ν· ἠσθένησαν παρέλυσ ε· καθεῖλεν, ἐξέβαλεν παρεμβαλε ĩ· παρεντίθησιν παρεμβαλε ĩ· ἐπισκέπει παρεμβάλ [λ ]οιτο κλῆρο ν· συγκληρώσαιτο * παρεμβολ ή· στρατόπεδον.

pi 819 παράταξις. στῖφος στρατιᾶς, ἢ πλῆθος. ἢ οἴκησιν. ἢ κάστρον παρεμπίνει ν· τὸ ἐκτὸς λόγου πίνειν πα ρ ’ ἔμοιγ ε· πάρεισι γάρ μοι παρεμφάρακτο ς· ἀσελγής.

pi 822 πέρπερος παρεμφαίνεσθα ι· παραδηλοῦσθαι παρεμφερέ ς· ὅμοιον πα ρ ’ ἕ ν· κατὰ τὸ ἑξῆς παρενδοθ ῇ· παρατεθῇ * παραίνεσι ς· συμβουλία.

pi 827 διδασκαλία παρενεγκεῖ ν· παραθεῖναι.

pi 828 παραβαλεῖν παρενήνεο ν· παρανιέων.

pi 829 παρετίθεσαν ἀθρόως. παρεσώρευον παρένθετο ς· παρείσακτος παρενθῆκα ι· μετενήνεκται (ἢ) ἀπὸ τῶν τεχνιτῶν τῶν παρεργαζομένων ἔνια λεπτά.

pi 831 ἢ ἀπὸ τῶν πλοϊζωμένων· παρεντιθέασι γὰρ τοῖς φορτικοῖς κοῦφα. ἀπὸ τῶν καμιν(έ)ων· τοῖς γὰρ πίθοις πινακίσκοι παρεντίθενται καὶ λεπτά παρέντε ς· παραλείψαντες, ἐάσαντες πάρε ξ· χωρίς, ἐκτός παρεξειρεσία ν· τὸ κατὰ τὴν πρῷραν πρὸ τῶν κωπῶν· ὡσεὶ λέγοι τις, πάρεξ τῆς εἰρεσίας * παρελέξατ ο· παρεκοιμήθη παρεξηυλημένο ς· ὑπὸ γήρως τὸν νοῦν παρεξηυλημένον ἔχων, ἀμυδρόν.

pi 836 μετενήνεκται δὲ ἀπὸ τῶν γλωσσίδων τῶν ἐν τοῖς αὐλοῖς· αἱ γὰρ κατα(τε)τριμμέναι ἐξηυλῆσθαι λέγονται παρὲξ ὁδο ῦ· ἔξω τῆς ὁδοῦ παρὲξ εἴποιμ ι· παρὰ τὴν ἀλήθειαν εἴποιμι πάρεξ τὸ θεῖον χρῆμ α· ἔξω τῆς μίξεως παρεοικώ ς· παρόμοιος παρεόντ α· παρόντα παρέπαφε ν· παρέπεισεν παρεπίδημο ς· πάροικος παρεπλάγχθ η· παρεκρούσθη παρεπτάμεν α· περιττά παρεπτάμενο ν· περιττόν πάρεργο ν· νόθον, ὡς μικρόν τι τῶν ἀναγκαίων [ παρεργότατ α· κατεῤῥογότατα] παρέργω ς· ἀκαίρως.

pi 849 ῥᾳθύμως [ παρενεῖτα ι· ὀλίγα ἀφαιρεῖται] πα ρ ’ ἐρινεό ν· παρὰ τὴν ἀγρίαν συκῆν παρερέωσα ν· παρετάξαντο, ἐν πολέμῳ ἀντέστησαν, κυρίως δὲ μετὰ τῶν ῥεῶν παρεῤ (ῥ )υπωμένα βιβλί α· οἷς κηροὺς προσπλάσσομεν, πρὸς τὸ ζητῆσαί τινα παρέρχετα ι· ὑπερβάλλε[τα]ι παρεῤῥωγότ α· κατεῤῥωγότα * παρεσταμένη γ ῆ· ἐφ’ ᾗ τις ὀφείλει δάνειον· καὶ ἡ ἐκδεδομένη ἐπὶ γεωργίᾳ πάρεσα ν· παρῆσαν παρεσθίε [ τ α ] ι· παραβιβρώσκεται * πάρεσι ν· ἄφε[ω]σιν, συγχώρησιν [ παρέσεστα ι· πάρεσται] παρέσμεθ α· ἤλθομεν πάρεσ ο· παραγενοῦ παρεσόμεθ α· [παρεγενόμεθα παρεσόμεθ α· παρεῖναι μέλλων παρέσσυ α· παρόρμησα.

pi 865 παραγινομένη παρέσσετα ι· παρέσχεται * παρεσπονδημένο ι· ἔκθεσμοι.

pi 867 παρηνομένοι παρεστέλλετ ο· παρεγίνετο παρέστη [ σ ε]· παρεγένετο.

pi 869 ἐπέστη πάρεστι ν· ἐστὶν ἐγγύς * παρέσφηλε ν· παρεφάνετο.

pi 871 ἀποτυχεῖν ἐποίησεν παρέσφαλε ν· ὁμοίως παρέσχε ν· ἔδωκεν παρετάξατ ο· ἐν πολέμῳ τέθνηκεν παρετάξαντ ο· ἐπολέμησαν παρέτμηξε ν· ἐξηφάνισεν πάρετο ς· παραλελυμένος παρετρώπασκ ε· παρετρέπετο παρευημερεῖσθα ι· νικᾶσθαι παρευημερηθεί ς· παροραθείς παρευθύνουσ ι· βιάζονται.

pi 881 παραφέρουσιν παρευθύνωσι ν· ὁμοίως παρευνάζω ν· παρακοιτάζων [ παρεφάσει ς· παραινέσεις παρεφασίῃσ ι· παραμυθίαις] παρεφέρετ ο· ἐδαιμονίζετο παρέφησ ε· παρεγράψατο.

pi 887 ἠπάτησεν παρεχάσσατ ο· παρεχώρησεν παρέχε ι· δίδωσι, χορηγεῖ παρ ῇ· ἔλθῃ πάρηβο ν· παρὰ Κτησί(ᾳ), ξύλον τι παρήγαγε ν· ἤνεγκεν.

pi 892 ἢ ἠπάτησεν παρηγοναῖ ς· παραγώγως.

pi 893

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπάταις παρηγορε ῖ· παρακαλεῖ, παραμυθεῖ(ται) παρηέρθ η· παρηνέχθη [ παρήθ η· ἐάθη] παρήϊξα ν· ἐκώλυον παρήϊο ν· ὁ παρὰ τὸ γένειον τόπος.

pi 898 καὶ κόσμος ἐπὶ μετώπου τῶν ἵππων παρὰ γνάθον παρῆκε ν· ἀφῆκεν, εἴασεν, ἔλειπεν [ παρήκτη ς· πάντα πράττων ἐπὶ κακῷ παρήθρε ι· παρῃωρεῖτο παρῆκε ν· εἴασεν, ἀφῆκεν,] ἀπέλυσεν παρήλας α· παρεφθεγξάμην.

pi 903 παρέβην παρήλατο ι· παραμύθιοι παρῆλθ ε· ἧκεν.

pi 905 εἰσελήλυθεν παρήμενο ς· παρακαθήμενος.

pi 906 ἔκλυτος παρημένω ν· παρενηνεγμένων [ παρημοσύν η· θεραπεία] παρηνέχθ η· παρεκρεμάσθη παρῇξα ν· ἐκώλυσαν παρήορο ς· ὁ παραιωρούμενος.

pi 911 ἄφρων. καὶ ἵππος ὁ παράσειρος, ὁ ἐκτὸς τοῦ ἅρματος τρέχων παρήπαφε ν· ἠπάτησεν.

pi 912 ἐξέστησεν παρηρί α· μωρία * πάρερο ς· ὁ μωρός παρήσει μο ι· δοκῶ [ πάρησι ν· χαύνωσιν] παρήσομε ν· ἐάσομεν.

pi 917 παράσχωμεν παρήτασε ν· ἐξήτασεν παρηυμάρησα ν· κατεφρόνησαν παρθέμενο ι· παραθέμενοι, παραβάλλοντες σφὰς γὰρ παρ[α]θέμενοι κεφαλάς παρθενία ς· ἀβυρτακῶδές τι πέμμα παρθενικ ή· παρθένος παρθένιο ι· οἱ κατὰ τὸν Μεσσηνιακὸν αὐτοῖς πόλεμον γενόμενοι ἐκ τῶν θεῶν.

pi 923 καὶ οἱ ἐξ ἀνεκδότου λάθρα γεννώμενοι παῖδες, ἀπὸ τοῦ δοκεῖν ἔτι παρθένους εἶναι τὰς γεννησαμένας αὐτούς. καὶ ποταμὸς Παφλαγονίας Παρθένιος * παρθενοπίπα ς· ὁ τὰς παρθένους ὀπιπεύων, οἷον περιβλέπων, ἢ ἀπατῶν Παρθένο ι· τὰς Ἐρεχθέως θυγατέρας οὕτως ἔλεγον καὶ ἐτίμων .

pi 925 .... Παρθένου Παλληνίδο ς· [ἱέρεια] Ἀθηνᾶς.

pi 926 ἔστι γὰρ ἱερὸν Ἀθηνᾶς ἐν Παλληνίδι παριαμβίδε ς· Ἀπολλόδωρος παρὰ τοὺς ἰάμβους αὐτά(ς) φησι πεποιῆσθαι, ἃς οἱ κιθαρῳδοὶ ᾄδουσιν Παριανό ς· ἐξ ἐπιθέτου Πρίαπος παριαύω ν· παρακοιμώμενος παριδρύσαντε ς· παρακαθίσαντες παρίετα ι· ἐᾷ, παραπέμπεται παρίημ ι· ἐῶ, καταλιμπάνω, συγχωρῶ, ἀφίημι παρίησι ν· ἀφίησι, συγχωροῦσιν παρικτό ν· παρερχόμενον * Πάροικο ι· γένος τι Ἀθήνῃσιν παριλλαίνουσ α· παρεμβλέπουσα.

pi 936 ἴλλοι γὰρ οἱ ὀφθαλμοί [ πάριο ν· πιστόν.

pi 937 κάτοχον] Πάριο ς· Πάριδος.

pi 938 [πιστός. κάτοχος] παριππεύε ι· ἀφεῖ αὐτοὺς καὶ ἄλλῃ ὁδεύει.

pi 939 παρατρέχει. παρακολουθεῖ πα ρ ʼ ἵππω ν· παρὰ τῶν ἵππων παρίσθμι α· τὰ περὶ τὸν φάρυγγα παρίστασθα ι· τὸ ἁρπάζειν τοὺς παῖδας παρισώματ α· ὁμοιοειδῆ * παρίστατ ο· παρέστηκεν * παριστ ῶ· ἀποδείκνυμι πάριτ ε· ἔλθετε παρκατέλεκτ ο· παρεκοιμᾶτο παρμέμβλωκ ε· πάρεστιν.

pi 948 ἢ παραμεμένηκεν. ἢ παραμεμόληκεν πάρμ η· Θ(ρ)ᾴκιον ὅπ(λ)ον, σκεπαστήριον, κονδότρον θυρεοῦ Παρνάσιος Φωκεύ ς· .

pi 950 ...... Παρνασό ς· ὄρος Φωκίδος Πάρνηθος ὄχθο ς· ὄρος τὸ αὐτό Παρνησό ς· τὸ αὐτὸ ὄρος πάρνοπε ς· ἀκρίδες Παρνόπ η· Καλλίστρατος Ἀθηναῖος πὰρ ξίφεο ς· παρὰ τὴν τοῦ ξίφους (θήκην) παροδικό ς· παρόδῳ χρώμενος πάροδο ς· μέρος τι τῆς νεώς παροδούμενο ν· παροιμιαζόμενον.

pi 959 ᾀδόμενον παρόδου ς· διαβάσεις πάροιθε ν· ἔξωθεν.

pi 961 ἔμπροσθεν. ἐπὶ τόπου καὶ χρόνου πάροικο ι· ξένοι, παρεπίδημοι παροιμία ι· παραινέσεις, παραμυθίαι, νουθεσίαι, ἠθῶν ἔχουσαι καὶ παθῶν ἐπανόρθωσιν παροιμί α· βιωφελὴς λόγος, παρὰ τὴν ὁδὸν λεγόμενος, οἷον παροδία.

pi 964 οἶμος γὰρ ἡ ὁδός πα ρ ʼ οἶμο ν· παρὰ τὴν ὁδόν [λεγόμενος].

pi 965 καὶ πάροιμος ὁ γείτων παροιμώσαντε ς· ἐκτραπέντες τῆς ὁδοῦ παροινί α· ἡ ἐκ τοῦ οἴνου ὕβρις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

pi 967 καὶ οἱαδήποτε ἁμαρτία παροινία ι· κραιπάλαι.

pi 968 ὕβρεις ἀπὸ οἴνου παροινιάσα ι· ὑβρίσαι, λοιδορῆσαι πάροινο ς· ἁμαρτωλός.

pi 970 μεθυστής. ὑβριστής, λοίδορος. ἔκλυτος [ πάροιο ς· πρᾶος παροῖρα ι· ἡγούμεναι, πρότεραι] παροισθέντ ι· παρενεχθέντι παροίσομε ν· παρενέγκωμεν.

pi 974 παρακομίσομεν παροιστρῆσα ι· παροξῦναι, ἐρεθίσαι παροιστρήσουσ ι· μαίνονται παροιστρῶσα ι· ἐρεθίζουσαι.

pi 977 ἐξεστηκυῖαι παροίτερο ι· μᾶλλον ἔμπροσθεν προάγοντες παροκλάζοντε ς· γονατίζοντες παρολκ ή· ὑπέρθεσις παρομαρτε ῖ· παρακολουθεῖ ( παρομαρτοῦ ν· παρεισόμενον) παρό ν· ὑπάρχον.

pi 983 συνόν παρόντ α· προκείμενα παροξυντα ί· οἱ τρεφόμενοι ὑπὸ τῶν ἑταιρῶν ὡς ἂν δὴ ἐρασταί παροπαιδί α· εἶδός τι πήρας παροπαίδιο ν· μικρὰ μάχαιρα παρορμ ᾷ· προτρέπεται.

pi 988 διεγείρει. παροξύνει πα ρ ʼ ὅρμο ν· παρὰ τὸν λιμένα πάρο ς· ἔμπροσθεν.

pi 990 πρότερον πάρος γ ε· πρώην.

pi 991 καὶ τὰ ὅμοια παροτρύνε ι· διεγείρει πα ρ ʼ οὐδέ ν· εὔκολον.

pi 993 εὐχερές παρουσί α· οὕτως ἐκάλουν καὶ τὰ ὑπάρχοντα [παρουσίαν].

pi 994 καὶ μήποτε ἡ παρά πρόθεσις παρέλκει. Μένανδρος Ὑδρίᾳ παρουφ ά· ἡ ἐν τῷ χιτῶνι πορφύρα παροχετεύε ι· παραπλαγιάζει.

pi 996 προσεγγίζει. [περιπλησιάζει.] παραφέρει. παρορμᾷ [ .

pi 997 παρυστρίδε ς· αἱ τὸ ἔλαιον χέουσαι] πάροχο ι· παραβάται.

pi 998 παράπομποι, καὶ οἱ συμπορεύοντες τὴν νύμφην ἐπὶ τοῦ ζεύγους, καὶ (οἱ) παράνυμφοι πάροχο ς· παράνυμφος παροχῶ ν· δωρημάτων, χαρισμάτων παροψί ς· ὀξυβάφιον, ἢ ἐμβάφιον πάρπαγο ς· ὁ ἄνω τῆς θύρας μάνδαλος Πάρπαρο ς· ἐν ᾧ ἀγὼν ἤγετο καὶ χοροὶ ἵσταντο παρπεπιθόντε ς· παραπείσαντες, παραλογισάμενοι πὰρ πυλεῶν α· παρὰ πυλεῶνα πὰρ πυμάτη ν· παρὰ τὴν ἐσχάτην Παῤῥασί η· πόλις Ἀρκαδίας Παῤῥάσιο ν· ὄρος Ἀρκαδίας παῤῥέκτη ς· πάντα πράττων ἐπὶ κακῷ παῤῥησί α· ἐξουσία.

pi 1010 ἄδεια παρσουλακί ρ· τὸν τρίβωνα, ὅταν γένηται ὡς θύλακος παρτάδε ς· ἄμπελοι πάρταξο ν· ὕγρανον.

pi 1013 Λάκωνες παρτέλλετα ι· παραινεῖται παρτετύμβε ι· παραφρονεῖ.

pi 1015 ἡμάρτηκεν πάρ το ι· πάρεστί σοι παρτομί ς· μικρὸν τῷ μήκει βιβλίδιον παρυφ ή· ὕφασμα παρυφί ς· Μένανδρος ἐν Ὑμνίδι παρφάμε ν· παραβῆναι ἅπαντα παρφάμενο ς· παραπείσας.

pi 1021 εἰπών. παρηγορήσας πάρφασι ς· παραίνεσις.

pi 1022 συμβουλία. παρηγορία. ἢ ἀπάτη παρφυσίδε ς· βάτραχοι παρ ῶ· παραλείπω.

pi 1024 ἢ συνῶ παρωά ς· παρωαὶ λέγονται ἵπποι τινὲς τὸ χρῶμα πυῤ(ῥ)οί παρῳδοῦντε ς· παρατραγῳδοῦντες.

pi 1026 χλευάζοντες. ἢ λέγοντες παρωθοῦντε ς· ἐκβάλλοντες παρώκλασε ν· ἐγονάτισεν παρωλένι α· τῶν χειρῶν τὰ ὄπισθεν παρώλισθε ν· ὠλίσθησεν, ἐξέπεσεν παρώλοφ α· τὰ ἀπὸ τῶν τενόντων μέρη παρώμφημ α· παρωνυμίασμα παρώνυμο ν· ἐκ τοῦ συμβεβηκότος καλούμενον πάρωο ς· εἶδός τι πυῤ(ῥ)οῦ χρώματος ἵππου [ παρώπαλ α· τὰ περὶ τοῖς ὀφθαλμοῖς.

pi 1035 ] ἐν τῷ περὶ ἱπποτροφίας [ παρόπανο ς· ἐμβρόντητος] παρώπι α· τὰ τοῖς ἵπποις παρατιθέμενα δέρματα, ἅ τινες ἀνθήλια λέγουσι, παρὰ τοῖς ὀφθαλμοῖς παρῶπτα ι· παρεώραται παρῶπτ ο· παρεώρατο πάρωρο ν· παράκαιρον παρωσάμενο ς· ἀπωθήσας.

pi 1041 ἀποβαλών παρώσα ς· ἐάσας.

pi 1042 ὤσας, ὠθήσας. ἐκβαλών παρώσατ ο· ὤσατο.

pi 1043 καὶ ὤθησεν παρωσμένω ν· δεδιω(γ)μένων παρώτρυνα ν· παρώξυναν παρῴχετ ο· παρῆλθεν.

pi 1046 ἐπορεύετο παρωχετεύω ν· ὅταν ἀπὸ τούτου τοῦ μέρους στρέφῃ τὸ ὕδωρ εἰς ἄλλον ὑδρα(γω)γόν παρῳχημένα ς· παρελθούσας πᾶ ς· ὅλος.

pi 1049 ἕκαστος πᾶσα ι· ὅλαι πασ [σ ]άμενο ς· γευσάμενος.

pi 1051 κτησάμενος πασάμη ν· ἐδεξάμην πᾶσαν ἐ π ʼ αἶα ν· πᾶσαν τὴν γῆν πάσ [σ ]ανο ς· ἀρτοπώλης, ἢ ἀρτόπτης πάσ [σ ]ασθα ι· γεύσασθαι πάσατ ο· ἐγεύσατο.

pi 1056 ἐκτήσατο πασάτ ω· ῥανάτω πᾶσι δέ κε ν· περὶ πάντων δέ πᾶσι ς· κτῆσις πάσκο ς· πηλός πάσμ α· ᾧ συνήρτηται πρὸς τὸ τοῦ φυτοῦ φύλλον.

pi 1061 ἔνιοι μαλλὸν ἐρίου πάσο ρ· πάθος.

pi 1062 Λάκωνες πασπάλ η· τὸ τυχόν.

pi 1063 οἱ δὲ κέγχρον· ἢ ἄλευρα κρίθινα Πασπάριο ς· ὁ Ἀπόλλων· παρὰ Παρίοις καὶ Περγαμηνοῖς πασσακίζουσ α· πασσαλεύουσα πασσακί ῳ· πασσάλῳ πάσσακο ν· πάσσαλον πάσσαλε ρ· σφῆνας.

pi 1068 (Λάκωνες) πασσάλιο ν· τοῦ ζυγοῦ τῆς κιθάρας τὸ μέσον πασσαλόφι ν· τοῦ πασσάλου.

pi 1070 ὁ δὲ σχηματισμὸς Βοιώτιος πασσάριο ς· σταυρός πάσσ ε· συνήθως ἡμῖν· πάσσε δ’ ἁλὸς θείοιο κρατευτάων καὶ ἐνεποίκιλλε· πολέας δ’ ἐνέπασσεν ἀέθλους ἔνθεν καὶ παστὸς τὸ γαμικὸν ποίκιλμα πάσσετα ι· ἐσθίει Πάσσιρο ς· ὁ τὴν Εἰρήνην κτίσας Ὑπερβόρ(ε)ιος. [5]

pi 1074 ἐκαλεῖτο δὲ Εἰρήνη καὶ Πελαγοῦ(σ)σα πάσσον α· παχύτερον, ἢ πλατύτερον.

pi 1075 καὶ πάσσους εἶναι πάσσοντο ς· εἰς ἀέρα χέοντος, ἢ σκορπίζοντος, ἢ ῥίπτοντος πασσυδί ᾳ· ὁμοῦ πάσῃ σπουδῇ, ἢ ὁρμῇ.

pi 1077 τινὲς δὲ πανδημ(ε)ί πασσυδί η· ὁμοίως πασσύριο ν· ἀντὶ τοῦ πασσυδίην.

pi 1079 Αἰολεῖς. τὸ πασσύριον ἡμῶν ἁπάντων γένος πασσύρω ς· ἄρδην.

pi 1080 πανοικί πάσσω ν· ῥίπτων.

pi 1081 χέων. σκορπίζων. ἐπιπάσσων πάστ α· βρῶμα ἐκ τυροῦ ἀνάλου μετὰ σεμιδάλεως καὶ σησαμίου σκευαζόμενον.

pi 1082 οἱ δὲ ἔτνος ἀλφίτοις μεμιγμένον παστάδε ς· παστοί, στοαί.

pi 1083 καὶ τῶν ἀμπέλων αἱ συστάδες. καὶ τόποι, ἔνθα ἐδείπνουν, ἀπὸ τοῦ πάσ[σ]ασθαι. ἴσως δὲ καὶ οἱ διαγεγραμμένοι οἶκοι· πάσαι γὰρ τὸ ποικῖλαι. καὶ ἔτνος ὅμοιον παστά ξ· πάσσαλος παστά ς· στοά.

pi 1085 προστάς. παστάδα ς· νυμφῶν(ας) παστήρι α· σπλάγχνα.

pi 1086 τὰ ἐντοσθίδια. κοιλία παστοφόριο ν· τὸ τὸν παστὸν φέρον.

pi 1087 ἢ οἰκονομία. ἢ συναγωγή. ἢ ναὸς εὐανθής [ πασχαλκεύ ς· πολύτεχνος] πασχητι ᾷ· πάσχειν θέλει[ν].

pi 1089 ἢ ἀκόλαστος ...., ἢ αἰσχρᾶς ἡδονῆς ἡττᾶται παταγε ῖ· ψοφεῖ.

pi 1090 κτυπεῖ πάταγο ς· ψόφος, κτύπος Πάταικο ι· θεοὶ Φοίνικες, οὓς ἱστᾶσι κατὰ τὰς πρύμνας τῶν νεῶν παττάλου ς· πασσάλους πάταν α· τρύβλια πατάνι α· τὰ ἐκπέταλα λοπάδια, καὶ τὰ ἐκπέταλα καὶ φιαλοειδῆ ποτήρια, ἃ πέδαχνα καλοῦσι.

pi 1095 τινὲς δὲ διὰ τοῦ β βατάνια λέγουσιν παταπ ῶ· πάλαι ποτέ Παταρ (η )ί ς· πόλις, καὶ ὄρος Λυκίας πάτασσ ε· ὑπὸ ἀγωνίας ἐπλήσσετο, ἐταράττετο πατάσσε ι· πλήσσει, κρούει.

pi 1099 τρέμει. πηδᾷ. φοβεῖται. ἅλλεται. [ἢ πατάξαι πατάσσ ω· ἠχῶ.

pi 1100

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δέρω, πλήσσω πάταχνο ν· σκεῦος λοπαδίῳ ἐμφερές πατεῖσθ ε· ἐσθίετε πατεῖ ν· πορεύ[σ]εσθαι πατέοντ ο· ἐγεύοντο πατέουσ ι· καταπατοῦσι [ πατεύσουσ ι· καταφρονήσουσιν πατερῆτα ι· ἐσθίουσι] πατέρε ς· πλούσιοι.

pi 1108 ἢ πρόγονοι [ πατευτικό ν· θηρευτικόν] πατηνό ν· πεπατημένον.

pi 1110 κοινόν πατή ρ· ὁ φύσας [ πατήρι α· ἐγκοί[κ]λια.

pi 1112 καὶ τῆς λη[μ]νοῦ μέρη τινά] πατητα ί· οἱ τραπηταί [ πατία ι· χῶραι] * πάτησα ν· κατεπάτησαν πατν ή· καλὴ ὑπὸ Πάρθων πατνώματ α· στεγάσματα οἴκου πάτο ν· ὁδὸν πεπατημένην πάτο ς· ἡ πεπατημένη καὶ λεωφόρος ὁδός.

pi 1119 καὶ ἔνδυμα τῆς Ἥρας. καὶ κόπρος πατράδελφο ς· θεῖος πρὸς πατρός * Παῦλο ς· θαυμαστὸς ἢ ἐκλεκτὸς σύμβουλος πατραλοία ς· ὁ τὸν πατέρα ἀτιμάζων, πατροτύπτης.

pi 1122 καὶ τὸ μητραλοίας (οὕτω) συντίθεται * Πάτρα ι· πόλις τῆς Ἑλλάδος [ πατρέμβατο ι· ὑψηλοί] πάτρη ν· πόλιν ἐπαρχίας.

pi 1125 φυλήν. πατρίδα. πάτρη ς· πατρίδος.

pi 1126 σημαίνει δὲ καὶ τὴν ἐκ τοῦ αὐτοῦ πατρὸς γένεσιν πατρια ί· φυλαί πατρίδ ι· πατρῴᾳ πατρίδα γαῖα ν· πατρῴαν γῆν πατρίδος αἴη ς· πατρῴας γῆς [ πάτριο ν· τὴν πομπήν πατρί ς· φυλίς.

pi 1132 πατρίδος] πατριώτη ς· παρὰ Ἀθηναίοις, ὁ βάρβαρος.

pi 1133 καὶ ο(ὐ) πολίτης πατρόθεν πορδακίδα ι· ὅτι πατέρων εἰσὶν ὄνων ἡμίονοι πατροκασιγνήτ ῳ· τῷ τοῦ πατρὸς ἀδελφῷ πατρόπολι ς· ἡ πατρῴα οἰκία πατρῴζουσα ι· τὰ τοῦ πατρὸς φρονοῦσαι πατρώϊο ν· τὸ τοῦ πατρός.

pi 1138 καὶ ἀπὸ προγόνων πατρώϊο ς· πατρικός [ πατρωλοία ς· ὁ τὸν πατέρα τύπτων, ἢ κτε(ί)νων] πάτρωνε ς· οἱ πρῶτοι τῶν ἀξιωθέντων τῆς Ῥωμαίων πολιτείας ὑπὸ Ῥωμύλου ἑκατὸν ὄντες, ὥσπερ δευτέρων πατέρων τάξιν ἐχόντων· καὶ ἐκ τούτου οἱ κρινόμενοι(ς) βοηθοὶ παραγινόμενοι πατρῷος Ζεύ ς· ναὶ ναὶ καταιδέσθη(τι) πατρῷον Δία καὶ ἄλλοι πολλοί πατώσα ς· διατριβούσας παύετα ι· ἥσυχος γίνεται παῦλ α· ἄνεσις, ἀνάπαυσις παυν ί· μικρόν.

pi 1146 οἱ δὲ μέγα. ἢ ἀγαθόν παῦνι ς· ἀπόχρεως παῦνο ν· μέγα παῦρ α· ὀλίγα, εὐ(α)ρίθμητα παυράκι ς· ὀλιγάκις, ἢ οὐδὲν ὅλως παυρακί ς· τὴν πέμπτην Σαμοθρᾷκες καλοῦσιν παῦρο ι· ὀλίγοι.

